19 οντες ἐξεπόρνευσαν, ἠγάπησαν ἀτιμίαν ἐκ φρυάγματος αὐτῶν. [19]συ-
στροφὴ πνεύματος σὺ εἶ ἐν ταῖς πτέρυξιν αὐτῆς, καὶ καταισχυνθή-
σονται ἐκ τῶν θυσιαστηρίων αὐτῶν.
5 [1]Ἀκούσατε ταῦτα, οἱ ἱερεῖς, καὶ προσέχετε, οἶκος Ισραηλ, καὶ ὁ
οἶκος τοῦ βασιλέως, ἐνωτίζεσθε, διότι πρὸς ὑμᾶς ἐστιν τὸ κρίμα,
ὅτι παγὶς ἐγενήθητε τῇ σκοπιᾷ καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ
2 Ἰταβύριον, [2]ὃ οἱ ἀγρεύοντες τὴν θήραν κατέπηξαν. ἐγὼ δὲ παιδευ-
3 τὴς ὑμῶν· [3]ἐγὼ ἔγνων τὸν Εφραιμ, καὶ Ισραηλ οὐκ ἄπεστιν ἀπ᾽
4 ἐμοῦ, διότι νῦν ἐξεπόρνευσεν Εφραιμ, ἐμιάνθη Ισραηλ· [4]οὐκ ἔδω-
καν τὰ διαβούλια αὐτῶν τοῦ ἐπιστρέψαι πρὸς τὸν θεὸν αὐτῶν, ὅτι
πνεῦμα πορνείας ἐν αὐτοῖς ἐστιν, τὸν δὲ κύριον οὐκ ἐπέγνωσαν.
5 [5]καὶ ταπεινωθήσεται ἡ ὕβρις τοῦ Ισραηλ εἰς πρόσωπον αὐτοῦ,
καὶ Ισραηλ καὶ Εφραιμ ἀσθενήσουσιν ἐν ταῖς ἀδικίαις αὐτῶν, καὶ
6 ἀσθενήσει καὶ Ιουδας μετ᾽ αὐτῶν. [6]μετὰ προβάτων καὶ μόσχων
πορεύσονται τοῦ ἐκζητῆσαι τὸν κύριον καὶ οὐ μὴ εὕρωσιν αὐτόν,
7 ὅτι ἐξέκλινεν ἀπ᾽ αὐτῶν, [7]ὅτι τὸν κύριον ἐγκατέλιπον, ὅτι τέκνα ἀλ-
λότρια ἐγεννήθησαν αὐτοῖς· νῦν καταφάγεται αὐτοὺς ἡ ἐρυσίβη
καὶ τοὺς κλήρους αὐτῶν.
8 [8]Σαλπίσατε σάλπιγγι ἐπὶ τοὺς βουνούς, ἠχήσατε ἐπὶ τῶν ὑψη-
9 λῶν, κηρύξατε ἐν τῷ οἴκῳ Ων· ἐξέστη Βενιαμιν, [9]Εφραιμ εἰς ἀ-
φανισμὸν ἐγένετο ἐν ἡμέραις ἐλέγχου· ἐν ταῖς φυλαῖς τοῦ Ισραηλ
10 ἔδειξα πιστά. [10]ἐγένοντο οἱ ἄρχοντες Ιουδα ὡς μετατιθέντες ὅρια,
11 ἐπ᾽ αὐτοὺς ἐκχεῶ ὡς ὕδωρ τὸ ὅρμημά μου. [11]κατεδυνάστευσεν
Εφραιμ τὸν ἀντίδικον αὐτοῦ, κατεπάτησεν κρίμα, ὅτι ἤρξατο πο-
12 ρεύεσθαι ὀπίσω τῶν ματαίων. [12]καὶ ἐγὼ ὡς ταραχὴ τῷ Εφραιμ
13 καὶ ὡς κέντρον τῷ οἴκῳ Ιουδα. [13]καὶ εἶδεν Εφραιμ τὴν νόσον αὐ-
τοῦ καὶ Ιουδας τὴν ὀδύνην αὐτοῦ, καὶ ἐπορεύθη Εφραιμ πρὸς
Ἀσσυρίους καὶ ἀπέστειλεν πρέσβεις πρὸς βασιλέα Ιαριμ· καὶ αὐ-
τὸς οὐκ ἠδυνάσθη ἰάσασθαι ὑμᾶς, καὶ οὐ μὴ διαπαύσῃ ἐξ ὑμῶν
14 ὀδύνη. [14]διότι ἐγώ εἰμι ὡς πανθὴρ τῷ Εφραιμ καὶ ὡς λέων τῷ
οἴκῳ Ιουδα· καὶ ἐγὼ ἁρπῶμαι καὶ πορεύσομαι καὶ λήμψομαι, καὶ
15 οὐκ ἔσται ὁ ἐξαιρούμενος. [15]πορεύσομαι καὶ ἐπιστρέψω εἰς τὸν
τόπον μου, ἕως οὗ ἀφανισθῶσιν· καὶ ἐπιζητήσουσιν τὸ πρόσ-
6 ωπόν μου, ἐν θλίψει αὐτῶν ὀρθριοῦσι πρός με λέγοντες [1]Πορευθῶ-
μεν καὶ ἐπιστρέψωμεν πρὸς κύριον τὸν θεὸν ἡμῶν, ὅτι αὐτὸς ἥρ-
2 πακεν καὶ ἰάσεται ἡμᾶς, πατάξει καὶ μοτώσει ἡμᾶς· [2]ὑγιάσει ἡμᾶς

18 αυτων AQ*L*] -της B*C* || 19 αυτης] -των A
5 1 ο B*L*] > AQ || 3 απεστιν] -στη Bc || 5 και ult.] + γε A† || 6 εξεκλινεν] εκκεκλικεν B*LC* || 7 οτι 2°] και AV† || 11 κριμα] pr. το B*LC* || 12 ταραχη (cf. ταρασσεσθαι = עשש Ps. 6 8 30 10. 11)] αραχνη Gra.: cf. Ps. 38 12 || 13 αυτος] ουτος B† || 15 επιζητησ. AQ] επι > B*LC*